UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XXI. In armis militum signum Dominicae crucis exprimi jubet.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

## ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

*Ὅπως καὶ τοὺς ἐθνικοὺς στρατιώτας, ἐν κυριακαῖς εὔχεσθαι προσέταξε.*

ΤΟῖς καὶ μήπω τοῦ θείου λόγου μεταχοῦσιν, ἐν δευτέρῳ νόμῳ διεκελεύετο, τὰς κυριακὰς ἡμέρας ἐν προαστείοις ἐπὶ καθαροῦ προϊέναι πεδίου. κἀνταῦθα μεμελετημένην εὐχὴν ἐξ ἑνὸς συνθήματος ὁμοῦ τοὺς πάντας ἀναπέμπειν Θεῷ· μὴ τε γὰρ δόρασι χρῆναι, μὴ τε πανοπλίαις, μὴ δ' ἀλκῇ σωμάτων τὰς ἑαυτῶν ἐξάπτειν ἐλπίδας. τὸν δ' ἐπὶ πάντων εἰδέναι Θεὸν, παντὸς ἀγαθοῦ δοτῆρα καὶ αὐτῆς B νίκης· ᾧ δὴ τὰς ἐνθέσμους προσήκειν ἀποδιδόναι εὐχάς. ἄνω μὲν αἴροντας εἰς οὐρανὸν μετεώρους τὰς χεῖρας. ἀνωτάτω δ' ἐπὶ τὸν οὐράνιον βασιλέα τοὺς τῆς διανοίας παραπέμποντας ὀφθαλμούς. κἀκεῖνον ταῖς εὐχαῖς νίκης δοτῆρα δὴ σωτῆρα, φύλακά τε καὶ βοηθὸν ἐπιβοωμένους. καὶ τῆς εὐχῆς δὲ τοῖς στρατιωτικοῖς ἅπασι διδάσκαλος ἦν αὐτὸς, Ῥωμαίᾳ γλώττῃ τοὺς πάντας ὧδε λέγειν ἐγκελευσάμενος.

## CAPUT XIX.

*Quomodo etiam Gentiles milites diebus Dominicis orare docuerit.*

Reliquis vero qui divinæ fidei doctrinam nondum susceperant, altera lege præcepit, ut Dominicis diebus in campum purum procederent, & precationem quam antea didicissent, simul omnes signo dato ad Deum funderent. Neque enim hastis & armatura, nec corporis viribus confidere eos oportere: sed summum omnium Deum, auctorem bonorum omnium ipsiúsque adeò victoriæ agnoscendum esse; eique solemnes preces persolvi debere, manibus quidem in cælum sublatis; mentis autem oculis altius ad ipsum usque cæli Regem erectis. Hunc victoriæ auctorem; hunc Servatorem Custodémque & Adjutorem invocare in precationibus eos debere. Ipse porro precationis formam cunctis militibus tradidit; jubens ut Latino sermone omnes pronuntiarent ad hunc modum.

## ΚΕΦΑΛΑΙΟΝ Κʹ.

*Εὐχῆς ῥήματα, στρατιώταις ὑπὸ Κωνσταντίνου δοθείσης.*

ΣΈ μόνον οἴδαμεν Θεόν. σὲ βασιλέα γνωρίζομεν. σὲ βοηθὸν ἀνακαλούμεθα· παρὰ C σοῦ τὰς νίκας ἠράμεθα. διὰ σοῦ κρείττους τῶν ἐχθρῶν κατέστημεν. σοὶ τὴν τῶν ὑπαρξάντων ἀγαθῶν χάριν γνωρίζομεν. σὲ καὶ τῶν μελλόντων ἐλπίζομεν. σοῦ πάντες ἱκέται γινόμεθα. τὸν ἡμέτερον βασιλέα Κωνσταντῖνον, παῖδάς τε αὐτοῦ θεοφιλεῖς, ἐπὶ μήκιστον ἡμῖν βίου, σῶον καὶ νικητὴν φυλάττεσθαι ποτνιώμεθα. τοιαῦτα κατὰ τὴν τοῦ φωτὸς ἡμέραν ἐνομοθέτει πράττειν τὰ στρατιωτικὰ τάγματα, καὶ τοιαύτας ἐδίδασκεν ἐν ταῖς πρὸς Θεὸν εὐχαῖς ἀφιέναι φωνάς.

## CAPUT XX.

*Forma precationis à Constantino militibus tradita.*

TE solum agnoscimus Deum; te Regem profitemur; te Adjutorem invocamus. Tui muneris est quod victorias retulimus, quòd hostes superavimus. Tibi ob præterita jam bona gratias agimus; & futura à te speramus. Tibi omnes supplicamus, utque Imperatorem nostrum Constantinum, unà cum piissimis ejus liberis incolumem & victorem diutissimè nobis serves, rogamus. Hæc die Solis à militaribus numeris fieri, & hæc verba inter precandum ab iis proferri præcepit.

D

## ΚΕΦΑΛΑΙΟΝ ΚΑʹ.

*Ἐν τοῖς στρατιωτῶν ὅπλοις σημεῖα τοῦ σταυροῦ τοῦ σωτῆρος.*

ΗΔη δὲ καὶ ἐπ' αὐτῶν τῶν ὅπλων, τὸ τοῦ σωτηρίου τροπαίου σύμβολον κατασημαίνεσθαι ἐποίει. τοῦ τε ἐνόπλου στρατοῦ προπομπεύειν, χρυσῶν μὲν ἀγαλμάτων ὁποῖα πρότερον αὐτοῖς ἔθος ἦν, τὸ μηδέν. μόνον δὲ τὸ σωτήριον τρόπαιον.

## CAPUT XXI.

*In armis militum signum Dominicæ crucis exprimi jubet.*

QUinetiam in ipsis armis, salutaris tropæi signum jussit effingi. Utq; ante instructum armis exercitum, non aurea signa & simulacra, ut antea moris erat, sed solum crucis tropæum præferretur, mandavit.